eul_wid: msk-aa

Ἀντίοχος ὁ Ἀσκαλώνιος · Antiochus of Ascalon

# Fragments on Antiochus of Ascalon

## *Ἀποσπάσματα περὶ Ἀντιόχου τοῦ Ἀσκαλωνίτου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Φιλοσοφικὴ Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Eclectic

1 (n) (Strabon 16.2.29, III, p. 1059 Mein.) Ἀπὸ ... Ἰαμνείας εἰς ... Ἀσκάλωνά εἰσιν ὅσον διακόσιοι στάδιοι ... ἐντεῦθεν ἦν Ἀντίοχος ὁ φιλόσοφος, μικρὸν πρὸ ἡμῶν γεγονώς. (Steph. [1]

2 (n) Byz. s. v. Ἀσκάλων, p. 132 Mein.) πολλοὶ δὲ ἐξ αὐτῆς κεχρηματίκασι, φιλόσοφοι μὲν Ἀντίοχος ὁ Κύκνος καὶ Σῶσος καὶ Ἀντίβιος καὶ Εὔβιος Στωϊκοὶ ἐπιφανεῖς. (Ind. [1]

7 (n) Ac. Herc. 34.1 ff.; p. 108 f. M.) ... ὑπῆγ(εν) ἐπιδρα(μὼν?) ... . αρρωι καὶ τ(ὴ)ν σχολ(ὴν) αὐτ(ο)ῦ ......... οσο. Μαίκιος ἐφ' ἡμῶν Ἀθήνη(θ)εν π(αρα)βαλόντων ἐξ Ἀ(λ)εξανδρείας (κ)α(ὶ) διακα(τ)εῖχεν. ἦσαν δ' αὐτοῦ μαθ(η)ταὶ καὶ Ἰολλά(σι-) (ος) Σαρδιανὸ(ς) καὶ Με(ν)εκράτης Μιτυληναῖος ὁ (κ)αὶ κατὰ Σι(κ)ελίαν . ωσπρι . ιν διατρίβων καὶ Μν(ασέ)ας Τύρι(ος) κα(ὶ Π)ῶ(λ)ος Ἀκρα(γ)αν(τ)ῖν(ος καὶ Μ)ελάνθιος (κ)αὶ σλνω ... Λυσίμαχος –ηροτερ . γ .... ολο .... .. Ἡράκ(λε)ιτος ? .... ετα .... (Plut. [15]

12 (n) Cic. 4.1 ff., p. 862c) Ἀφικόμενος [sc. Cicero] δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ τῇ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν οὐκ ἐπαινῶν. ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημείας ὁ Ἀντίοχος καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴθ' ὥς φασιν ἔνιοι φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. Ὁ δὲ Κικέρων ἐκεῖν' ἠγάπα ... (Plut. [5]

13 (n) Cic. 4.4 f., p. 862d) Ἐπεὶ δ' αὐτῷ [sc. Ciceroni] Σύλλας τε προσηγγέλθη τεθνηκώς ..., πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξηρτύετο τὸν ῥητορικὸν λόγον καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν ... (Plut. [5]

15 (n) Luc. 42.3, p. 519f—520a) Φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο [sc. Lucullus] καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος, ἴδιον δὲ τῆς Ἀκαδημείας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης τὸν Ἀσκαλωνίτην Ἀντίοχον, ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λεύκολλος καὶ συμβιωτὴν ἀντέταττε τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν. (Aelian. [5]

18 (n)

Var. hist. 12.25, p. 391 H.) ἵνα δὲ καὶ τῶν ἐμοὶ προσηκόντων οὐδὲν ἧττον ἤπερ καὶ οἱ Ἕλληνες προσήκουσι μεμνῶμαι (διαφέρει δέ μοι καὶ τούτων, εἴ γε Ῥωμαῖός εἰμι), καὶ Λεύκολλος Ἀντιόχου τι ὤνητο τοῦ Ἀσκαλωνίτου καὶ Μαικήνας Ἀρείου καὶ Κικέρων Ἀπολλωνίου καὶ ὁ Σεβαστὸς Ἀθηνοδώρου. (Plut. [1]

23 (n) Brut. 2.2 ff., p. 984e) τῶν ... Ἑλληνικῶν φιλοσόφων οὐδενὸς μὲν ὡς ἁπλῶς εἰπεῖν, ἀνήκοος ἦν [sc. Brutus] οὐδ’ ἀλλότριος, διαφερόντως δ’ ἐσπουδάκει πρὸς τοὺς ἀπὸ Πλάτωνος. καὶ τὴν νέαν καὶ μέσην λεγομένην Ἀκαδήμειαν οὐ πάνυ προσιέμενος, ἐξήρτητο τῆς παλαιᾶς, καὶ διετέλει θαυμάζων μὲν Ἀντίοχον τὸν Ἀσκαλωνίτην, φίλον δὲ καὶ συμβιωτὴν τὸν ἀδελφὸν αὐτοῦ πεποιημένος Ἄριστον, ἄνδρα τῇ μὲν ἐν λόγοις ἕξει πολλῶν φιλοσόφων λειπόμενον, εὐταξίᾳ δὲ καὶ πρᾳότητι τοῖς πρώτοις ἐνάμιλλον. (Plut. [5]

31 (n) Luc. 28.8, p. 511b) ταύτης τῆς μάχης [sc. apud Tigranocertam] Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ περὶ θεῶν γραφῇ μνησθεὶς οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. (Suda s. [1]

32 (n) v. Λούκουλλος p. 2.285 A.) Ἀντίοχος γοῦν ὁ φιλόσοφος ταύτης ἐπιμνησθεὶς τῆς μάχης, οὐκ ἔφη τοιαύτην ἄλλην ἑωρακέναι τὸν ἥλιον. (Ind. [1]

33 (n) Ac. Philos. 34.36 ff.; p. 109 f. M.) α . πρεσβε(ύ)ων ... ν .. θ ( .. εἴ)ς τε Ῥώμη(ν κ)αὶ π(ρ)ὸ(ς) το(ὺς ἐ)ν ταῖς ἐ(π)αρχί(αι)ς στρατη(γοὺ)ς κ(αθ’ ἑκα)τέρας ἐν τῆι (Με)σοποτ(αμ)ίαι Λευκίωι Λευκ(ό)λλωι (πρ)οσκαρ(τ)ερῶν (ἐτε)λεύτησεν παρε(ι)μέ(νος) ὑπὸ (π)ολλῶν κα(μάτων) (Ind. [5]

35 (n) Ac. Philos. 25.21 ff.) ... —ΑΡΜΑ ∠ ΑΣ .... ΤΙ .... ... ΝΩΝΙΤΗΣ ..... —Ω .. .... ΟΣΤΚ ∠ ΔΥ ...... ..... ΝΗΓΡΟΙ ...... .... ΟΣ ΦΑΙΝ ...... .......... Μ ......... .......... Α ......... ......... ΡΤ ........ (Sext. [5]

36 (n) Emp. Pyrrh. Hyp. 1.220) ἔνιοι δὲ καὶ τετάρτην [sc. Academiam] προστιθέασι τὴν περὶ Φίλωνα καὶ Χαρμίδαν, τινὲς δὲ καὶ πέμπτην καταλέγουσι τὴν περὶ [τὸν] Ἀντίοχο ν . ([Galen] de hist. [1]

37 (n) philos. 226 K. = Diels, Doxogr. fr. 3) ... τοῦ δὲ Κράντορος ἀκουστὴς ἦν Ἀρκεσίλαος, ὃς τὴν μέσην Ἀκαδημίαν ἐπινενόηκεν, ἥτις μέχρις Ἡγησίνου ἐπιμεμένηκεν. τούτου δὲ Καρνεάδης κατέστη διάδοχος, ὃς τῆς νέας Ἀκαδημίας τὰς ἀρχὰς συνεώρακεν· ἧς Κλειτόμαχος μετέσχεν. εἰσὶ δὲ πρὸς ταύταις πάσαις Ἀκαδημίαι δύο νεώτεραι, ὧν τῆς μὲν προτέρας προέστη Φίλων, Ἀντίοχος δὲ τῆς ἐφεξῆς. (Euseb. [5]

38 (n) Pr. ev. 14.4.16, p. 727a) τινὲς δὲ καὶ πέμπτην [sc. Academiam] καταλέγουσι τὴν τῶν περὶ τὸν Ἀντίοχο ν. (Ainesidemos bei Phot. [1]

54 (n) cod. 212, p. 170a 14 ff. Bekker) οἱ δ’ ἀπὸ τῆς Ἀκαδημίας, φησί [sc. Ainesidemos] μάλιστα τῆς νῦν, καὶ Στωϊκαῖς συμφέρονται ἐνίοτε δόξαις. καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, Στωϊκοὶ φαίνονται μαχόμενοι Στωϊκοῖς. δεύτερον περὶ πολλῶν δογματίζουσιν. ἀρετήν τε γὰρ καὶ ἀφροσύνην εἰσάγουσι, καὶ ἀγαθὸν καὶ κακὸν ὑποτίθενται, καὶ ἀλήθειαν καὶ ψεῦδος, καὶ δὴ καὶ πιθανὸν καὶ ἀπίθανον, καὶ ὂν καὶ μὴ ὄν, ἄλλα τε πολλὰ βεβαίως ὁρίζουσι, διαμφισβητεῖν δέ φασι περὶ μόνης τῆς καταληπτικῆς φαντασίας. διὸ οἱ μὲν ἀπὸ Πύῤῥωνος ἐν τῷ μηδὲν ὁρίζειν ἀνεπίληπτοι τὸ παράπαν διαμένουσιν, οἱ δ’ ἐξ Ἀκαδημίας, φησίν, ὁμοίας τὰς εὐθύνας τοῖς ἄλλοις φιλοσόφοις ὑπέχουσι. τὸ δὲ μέγιστον, οἱ μὲν περὶ παντὸς τοῦ προτεθέντος διαποροῦντες τό τε σύστοιχον διατηροῦσιν καὶ ἑαυτοῖς οὐ μάχονται, οἱ δὲ μαχομένοις ἑαυτοῖς οὐ συνίσασι· τὸ γὰρ ἅμα τιθέναι τι καὶ αἴρειν ἀναμφιβόλως, ἅμα τε φάναι κοινῶς ὑπάρχειν καταληπτά, μάχην ὁμολογουμένην εἰσάγει, ἐπεὶ πῶς οἷόν τε γινώσκοντα τόδε μὲν εἶναι ἀληθὲς τόδε δὲ ψεῦδος ἔτι διαπορεῖν καὶ διστάσαι, καὶ οὐ σαφῶς τὸ μὲν ἑλέσθαι, τὸ δὲ περιστῆναι; εἰ μὲν γὰρ ἀγνοεῖται ὅτι τόδε ἐστὶν ἀγαθὸν ἢ κακόν, ἢ τόδε μὲν ἀληθές, τόδε δὲ ψεῦδος, καὶ τόδε μὲν ὄν, τόδε δὲ μὴ ὄν, πάντως ὁμολογητέον ἕκαστον ἀκατάληπτον εἶναι. (Sext. [15]

55 (n)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Emp. Pyrrh. Hyp. 1.235) ... ὁ Ἀντίοχος τὴν Στοὰν μετήγαγεν εἰς τὴν Ἀκαδημίαν, ὡς καὶ εἰρῆσθαι ἐπ’ αὐτῷ ὅτι ἐν Ἀκαδημίᾳ φιλοσοφεῖ τὰ Στωικά· ἐπεδείκνυε γὰρ ὅτι παρὰ Πλάτωνι κεῖται τὰ τῶν Στωϊκῶν δόγματα. ὡς πρόδηλον εἶναι τὴν τῆς σκεπτικῆς ἀγωγῆς διαφορὰν πρός τε τὴν τετάρτην καὶ τὴν πέμπτην καλουμένην Ἀκαδημίαν. (Numen. [5]

58 (n) bei Euseb. Pr. Ev. 14.9.3, p. 739 c/d = F 8 Leem.) Φίλωνος ... γίνεται ἀκουστὴς Ἀντίοχος, ἑτέρας ἄρξας Ἀκαδημίας. Μνησάρχῳ γοῦν τῷ Στωϊκῷ σχολάσας ἐναντία Φίλωνι τῷ καθηγητῇ ἐφρόνησε, μυρία τε ξένα προσῆψε τῇ Ἀκαδημίᾳ. (Sext. [1]

65 (n) Emp. adv. math. 7.162) ... φαντασίαν ῥητέον εἶναι πάθος τι περὶ τὸ ζῷον ἑαυτοῦ τε καὶ τοῦ ἑτέρου παραστατικόν. οἷον προσβλέψαντές τινι, φησὶν ὁ Ἀντίοχος, διατιθέμεθά πως τὴν ὄψιν, καὶ οὐχ οὕτως αὐτὴν διακειμένην ἴσχομεν ὡς πρὶν τοῦ βλέψαι διακειμένην εἴχομεν. (Sext. [1]

66 (n) Emp. adv. Math. 7.201 f.) Οὐκ ἄποθεν δὲ τῆς τούτων [sc. τῶν Κυρηναϊκῶν] δόξης ἐοίκασιν εἶναι καὶ οἱ ἀποφαινόμενοι κριτήριον ὑπάρχειν τῆς ἀληθείας τὰς αἰσθήσεις. ὅτι γὰρ ἐγένοντό τινες τὸ τοιοῦτο ἀξιοῦντες, προῦπτον πεποίηκεν Ἀντίοχος ὁ ἀπὸ τῆς Ἀκαδημίας, ἐν δευτέρῳ τῶν Κανονικῶν ῥητῶς γράψας ταῦτα «ἄλλος δέ τις, ἐν ἰατρικῇ μὲν οὐδενὸς δεύτερος, ἁπτόμενος δὲ καὶ φιλοσοφίας, ἐπείθετο τὰς μὲν αἰσθήσεις ὄντως καὶ ἀληθῶς ἀντιλήψεις εἶναι, λόγῳ δὲ μηδὲν ὅλως ἡμᾶς καταλαμβάνειν.» ἔοικε γὰρ διὰ τούτων ὁ Ἀντίοχος τὴν προειρημένην τιθέναι στάσιν καὶ Ἀσκληπιάδην τὸν ἰατρὸν αἰνίττεσθαι, ἀναιροῦντα μὲν τὸ ἡγεμονικόν, κατὰ δὲ τὸν αὐτὸν χρόνον αὐτῷ γενόμενον. ἀλλὰ περὶ μὲν τῆς τούτου φορᾶς ποικιλώτερον καὶ κατ’ ἰδίαν ἐν τοῖς ἰατρικοῖς ὑπομνήμασι διεξήλθομεν, ὥστε μὴ ἔχειν ἀνάγκην παλινῳδεῖν. (Themist. [10]

86 (n) or. 15, p. 239.13 Dind.) καὶ δεῖ σφῷν τῆς ἄκρας ἐπιστήμης καὶ τλημοσύνης μᾶλλον ἢ Ἀντιόχῳ τε καὶ Ἀρίστωνι. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org